
INSIGNIA ACADEMIAE HARVARDIANAE CANTAB: NOV: ANGLIAE
VE RI TAS
The Gift of
Mary Bryant Brandegee
in Memory of
William Fletcher Weld

Kampmanno suo amico editor.

ANACREONTIS,

quae feruntur,

ODARIA.

Recensuit

Aug. Ferd. Lindau, Dr.

Alisiae Silesiorum.

Sumptibus editoris, typis A. Ludovici.

1840.

Viro

Excellentissimo ac Splendidissimo

Equiti

FRID. THEODORO

DE MERCKEL, D.

Regis Borussorum Potentissimi ac Clementissimi

Ab Intimis Consiliis,

Summo Silesiarum Praesidi,

Liberali bonarum artium Fautori

Summa ductus observantia obtulit

Editor.

Quum *Tu*

Vir Excellentissime,

paucos ante menses iter aestivum per provinciam faciens in municipium nostrum venisses ac, quae Tua omnium rerum est vel minimarum eximia procuratio, scholam quoque nostram visitatum intrasses, evenit, ut hebraicarum me literarum elementa tradentem in ipso ludo opprimeres. Ubi quum *Tu* de variarum rerum in scholis docendarum ratione nobiscum coeperas sermocinari, in mentem *Tibi* venit carminum Anacreontis, quibus quondam delectatus esset animus *Tuus* juvenilis,

Ista *Tua* nobilis poetae memoria animum meum vehementer advertit, *Tibi* prae ceteris placere cupientis, nec tamen ignorantis, quam etiam tunc jaceret, quot et quantis vitiis laboraret ejus contextus, ita ut prope omnia carmina hominis, si non omnino despicerentur, certe in spuriorum suspicionem specie non injustam vocata essent.

Ab ista igitur suspicione contemptuve poetam hunc lepida quadam ac nativa sentiendi dicendique simplicitate spectabilem liberaturus per hosce menses operam ei, quam licuit, subsecivam emendando et corrigendo impendi. Quae tanquam strena hoc ipso tempore solemnis oblata si *Tibi*, harum rerum justissimo judici non displicuisset, libellum hunc *Tuo* me nomine ornasse credebam Te non indignaturum, data mihi vix alia, quae Te digna esset, occasione, qua *Tibi* ac compluribus aliis beatae, quam jure suo *Principes nostri Sapientissimi*, nunc ipsum jam centum per annos imperii *Sui* decus et columen, etiam *suae Ipsorum* glo-

riae bello ac pace paratae coheredem nuncupaverunt, Silesiae civibus honestissimis et magnae benivolentiae, qua me ante hos viginti quinque annos tanquam e naufragio huc delatum excepistis, et multorum, quae *Tu* inde in me contulisti, beneficiorum gratiam quantulamcunque publice faterer et referrem.

Senectute *Tua*, rerum gestarum gloriae quasi portu, cui divinitus prospectum cupio, et in qua *Tibi* aeque libeat poetam nunc cultiorem relegenti fronte exporrecta juvenescere, ac Laelios apud Ciceronem Catonesve non piguit, receptis, quae dudum reliquerant, studiis repuerascere, cum continua, precor, incolumitate valetudinis ac laetitia fruare carissimi capitis, quam non multis ante annis fecisti jacturam, si potest, reparante, ac mihi limen ejusdem aetatis non sine sollicitudine quadam solitudinis ingresso meisque studiis, quae torpori senili obnituntur, gratiam et favorem *Tuum*, quo mihi jam in vita vix quidquam est antiquius, quum augere vix liceat, eundem

certe velim magnanimo *Tuo* in pectore etiam in posterum conserves. Scr. Alisiae sub initium anni 1840.

Τοῖς ἀναγνωσομένοις ταῦτα ὁ γράψας χαίρειν λέγει.

Οὐ μὲν δοκεῖ ἀπίθανον εἶναι ἢ ἄτοπον ὑπολαμβάνειν, ὅτι ὁ Ἀνακρέων Ἀθήνησι διατρίβων τοὺς ἀμφὶ Πεισίστρατον, οἳ τὰ Ὁμήρου συλλεξάμενοι καὶ διασκευάσαντες αὐτὰ πρῶτοι ἀνεγράψαντο, μιμούμενος αὐτὸς τῶν αὑτοῦ ᾀσμάτων ὁμοίαν ἐκείνοις συλλογὴν ἐποίησεν, ἵνα μὴ ἄλλα ἄλλοσε διασπαρέντα τὸ τελευταῖον ἀδέσποτα γένηται· εἰ δὲ μή, τοῦτο γοῦν βέβαιον, τοὺς ἐν Ἀλεξανδρείᾳ γραμματικοὺς ὕστερον ἐν τοῖς Λυρικοῖς αὐτὸν τῶν Ἑλλήνων τοῖς εὐδοκιμωτάτοις ἐπὶ κανόνι εἴδους οὗ ἐκεῖνος ἠγάπησε ποιήσεως τὰ πλεῖστα, ὥς γε ἡμῖν δοκεῖ, ἐκ τοῦ παραχρῆμα πεφυκυίας ἀριθμῆσαι, συλλογὴν τῶν αὐτοῦ ἢ εὑρόντας ἤδη πρότερον

παρεσκευασμένην ἢ τότε δὴ αὐτοὺς ποιήσαντας. Καὶ δεῖ μὴ θαυμάζειν, εἰ ὁ Κοϊντιλιανὸς ἐν τῷ δεκάτῳ ῥητορικῶν ταύτην μὲν τὴν ἐκείνων κρίσιν ἐπιτέμνων μνημονεύει, ἅτε δὲ δὴ ἀνὴρ Ῥωμαῖος τὰ μεγαλοπρεπῆ καὶ γνωμικὰ προελόμενος, εἴπερ ἐξ ὧν περὶ Ἀλκαίου τελευτῶν εἴρηκε, τοῦτο ἔξεστιν εἰκάσαι, τὰ τοῦ Τηΐου ὡς ἐπύλλια καὶ παίγνια τῆς ὀνομαστὶ μνήμης ἀνάξια ἡγοῖτο.

ε Τῆς μὲν οὖν παλαιοτέρας ἐκείνης τῶν Ἀνακρεοντικῶν συλλογῆς ὁπότε καὶ ὅπως ἄδηλον ἀπολομένης, ἐν τῇ δεκάτῃ ἀπὸ τοῦ Θείου ἀνθρώπων Σωτῆρος ἑκατονταετηρίδι Κωνσταντῖνος ὁ προσαγορευόμενος Κεφάλας ὁ ἀνθολόγος καινόν τι αὐτῶν ἐκ μνήμης καὶ ἀπὸ παραδιδόντων στόματος σύνταγμα, ἤ, εἰ βούλει, σύναγμα μᾶλλον, ὃ ἔτι καὶ νῦν ἔχομεν, ἐπεχείρησε κατασκευάζειν, χρόνῳ τε καὶ χρείᾳ οὕτως ἠλλοιωμένων ἢ καὶ ὑπὸ τῆς τῶν πρὶν εἴτε ἀγνοίας εἴτε βλακείας ἢ λόγῳ ἢ γραφῇ συγκεχυμένων, ὥστε πολλοὺς τῶν νῦν ἀνδρῶν παιδευτῶν δικαίους φαίνεσθαι τὰ πλεῖστα αὐτῶν ἢ σχεδὸν ἅπαντα ὑποβολιμαῖα νομίζειν, τοιαῦτα ὄντα

ἄλλως τε χλευάζοντας, καὶ ἐπεὶ ὅσα ἄλλοι τινὲς τῶν ξυγγραφέων τούτου τοῦ ποιητοῦ μέρη ἐμνημόνευσαν, ἐκείνων, εἰ καὶ μὴ ἐννοιῶν, ἐπῶν ὅμως καὶ μέτρων σεμνῇ τινὶ λαμπρότητι διαφέρει.

Τούτων τοίνυν οὕτως ἐχόντων τὴν μὲν τῶν στίχων, οὓς ἄλλοι μὲν Ἀνακρεοντείους ἐπονομάζουσι, ἡμεῖς δὲ γαλλιαμβικοὺς διμέτρους ἀκαταλήκτους, οἳ ἐκ δυοῖν ἀπ᾽ ἐλάττονος ἰωνικοῖν, οἷον [υυ--|υυ--] τῇ καλουμένῃ ἀνακλάσει γεγονότες ποικίλως σχηματίζονται, ὡς αὐτίκα παραγεγραμμένον ἐστί, [ῡυ-ῠ|ῡυῠ-ῡ] τούτων οὖν τὴν σύγχυσιν ἰδόντες ὅτι δι᾽ ἀκριβείας εὐίατος ἦν, τοῦτο δ᾽ αὐτὸ δέον τῆς ἡμῶν κριτικῆς περὶ ταῦτα ἐπιμελείας ἀρχὴν ποιησάμενοι, ἃ μὲν φαῦλά ἐστιν ἔννοιαν καὶ ποιητοῦ ἀρχαίου παντάπασιν ἀνάξια, ἢ ὅσων τὰ μέτρα ἔοικεν εἶναι ἀνίατα, ἀθετήσαντες, τὰ λοιπὰ ἐτολμήσαμεν ἀπὸ τῆς ὑποψίας ἐκείνης καὶ καταφρονήσεως ἀμωσγέπως ἀπολύειν καὶ πάλιν, ὅσον ἐφ᾽ ἡμῖν καὶ δέον, τίμια αὐτὰ ποιεῖν, πολλῶν δὴ καὶ μεγάλων ἐν τοῖς παροῦσι μεταβολῶν γενομένων· οὐ μὴν ἀλλὰ τοῦτο οὕτως ἐγίγ-

νετο, ὥστε καὶ ταῖς ἐννοίαις ταῖς ἐνδεῶς παραδεδομέναις ἡμᾶς σχεδὸν ἀεὶ ἐμμένειν διορθώσαντας, καὶ τῶν γραμμάτων τῶν ὑπαρχόντων ὡς ἄγχιστα καθεστάναι. Καὶ αὕτη ἡ τῶν μέχρι νῦν κακῶς ἐχόντων μετάπλασις, τῶν παλαιῶν ἅτε ἀμελείᾳ ἀμυδρῶν γενομένων ἰχνεύσει σκηπτομένη, καίπερ αἰνιγματώδης δοκοῦσα εἶναι, ὅμως, ὥσπερ αὐτὸ δείξει, οὕτως ἐφαίνετο πιθανή, ὥστε μὴ ἔμεγε μήτε γέροντος δύσκλειαν ἔτι νεάζοντος εὐλαβεῖσθαι, μήτε τὴν τῶν κριτικῶν διαβολὴν αὐθαδείας φοβεῖσθαι, ἐπειδήπερ πάντα τῆς Κωνσταντίνου συλλογῆς ἀντίγραφα, ὧν δοκοῦσιν ἤδη ὡς μιᾶς μόνον πηγῆς βοήθειαν ἐξαντλῆσαι, ἄκεσιν οὐκ ἐθέλει παρέχειν τὴν προσήκουσαν καὶ μάτην προσδοκωμένην.

Ὅτι δ' ἔτι καὶ νῦν τὴν τοῦ βιβλίου ἐπιγραφὴν ἐποιήσαμεν ἀμφίβολον, ἐν τούτῳ ἀνδράσι τισὶ παιδευτοῖς ᾠόμεθα ὀλίγον τι δεῖν χαρίσασθαι· τίς γὰρ ἂν καὶ μετὰ ταῦτα βούλοιτο διϊσχυρίζεσθαι ἅπαντα ταῦτα εἶναι γνήσια, εἰ μὴ ἐπιλαθόμενος, ὅτι οἱ Ἕλληνες ἀρχαῖοι ἐφίλουν καὶ χαλεπώτερα τοιούτων μιμεῖσθαι. Ὡσαύτως καὶ τοῦτο τὸ φροίμιον

ἑλληνιστί, καίπερ βάρβαροι δὴ γένει ὄντες, ἐγράψαμεν, οὐκ ἐπὶ παιδείας τινὸς ἐπιδείξει, ἀλλὰ τοῖς νῦν Ἕλλησι χαριζόμενοι ῥᾷον. οὕτως, ἃ ἐγράψαμεν, συνησομένοις καὶ ὅπως αὐτοὶ τὰ ἡμέτερα ζηλοῦντες ἐς τὴν παλαιὰν αὐτῶν γλῶτταν ἐπανέλθωσι τὴν ἄλλα τε καὶ τὰ καινότατα ἱκανῶς δυναμένην καὶ καθαρῶς ἀποφαίνειν. Ἴσως τάχα καί τις ἡμῖν μέμψεται τὸ μὴ πανταχοῦ ἐν τοῖς σχολίοις, ὅσας γε ἐν ταῖς ἐφημερίσιν ἀρχαιολογίας ταῖς Καττικαῖς πρότερον ἀπεφήναμεν, προσθεῖναι τὰς μεταβολῶν ὧν ἐποιήσαμεν αἰτίας ἢ προφάσεις· πρῶτον μὲν αὐτοῖς λέγωμεν, ὅτι ἐνταῦθα ἔστιν ἃ ἐκεῖ λεχθέντα μετεβάλομεν ἐπινοήσαντες ἢ καὶ τότε παραλειφθέντα νῦν δὴ προσεθήκαμεν· ἔπειτα δ' ἐξεπίτηδες οὕτω τῷ πράγματι ἐχρησάμεθα, ὅπως τὴν ἀναγιγνωσκόντων μὴ φθαῖμεν εὐστοχίαν, αὐτοὶ πεῖραν λαβόντες, ὡς παντὶ ἡδομένῳ ἐστὶν αὐτῷ ἐρευνήσαντι τἀληθὲς ἀνευρεῖν. Καὶ δὴ καὶ ἔτι πλεονάκις ἐδέησεν ἡμᾶς ταύτης ἄλλων ἡδονῆς φείδεσθαι, ὅτι τὴν αἰτίαν αὐτῆς ἡμῖν συνειδότες τοσούτῳ μᾶλλον ἀρχὴν πεπεισμένοι ἐσμὲν πάσης εἶναι φιλοσοφίας, ὅσῳ

πολλοὶ τῶν νῦν παρ' ἡμῖν σοφωτάτων δοκούντων εἶναι, τάχα καὶ ἀγνοοῦντες, ταὐτὰ ἡμῖν διανοοῦνται.

Ἐὰν οὖν ἡ ἀκριβὴς ἡμῶν περὶ ταῦτα σπουδὴ καὶ τοὺς χαρίεντας ἀρέσῃ καὶ τοῖς μάλιστα παιδευτοῖς ἀνδράσιν, ὅ τοι σπανιάκις ξυμβαίνει, ἀρκέσῃ μεμνημένοις δὴ τοῦ λεγομένου, ἓν οὐ πᾶσιν ἐπιτήδειον πέλει, τοιαύτην τινὰ τῷ ὑπ' ἀληθείας παρανομήσαντι ξυγγνώμην ἔπαινον ἡγησόμενοι τὸν μέγιστον, τούτοις ποτὲ καὶ τὰ μὴ ὄντα ὁλοτελῆ Ἀνακρέοντος λείψανα ἢ μᾶλλον ἐρείπια προσθήσομεν. Ἔῤῥωσθε τέως καὶ πρὸς ἡμᾶς φιλοφρονεῖσθε.

ΕΠΙΓΡΑΦΗ ΤΟΥ ΠΑΝΤΟΣ.

Οὐ φίλος, ὃς κρατῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει·
ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων ἐρατῆς μνήσκεται εὐφροσύνης.

στ. 1. παρ' Ἀθηναίῳ (XI. 463. a.) κεῖται „Οὐ φιλέω ὅς κ. τ. λ. πρὸς δὲ τὴν ὑπόθεσιν σημειωτέον, ὅτι τῶν ἀμφὶ Πεισίστρατον Ἀθήνησι τυραννευόντων, ἐφ' ὧν ὁ Ἀνακρέων ἐκεῖ διέτριβε, τὰ Ὁμήρου ἄρτι συλλελεγμένα καὶ ἐν ταῖς συμποσιακαῖς συνουσίαις μάλιστα ἐφιλεῖτο, ἀνθ' ὧν τὰ αὑτοῦ ὁ Τήϊος ᾄσματα εἰσῆγεν, μαλακώτερα μὲν ὡς δὴ ἰάζοντος, φιλανθρωπότερα δ' ἐκείνων.

1. ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Φύσις κέρατα ταύροις
ὅπλας δ' ἔδωκεν ἵπποις,
ποδωκίην λαγωοῖς,
λέουσι χάσμ' ὀδόντων,
τοῖς ἰχθύσιν τὸ νηκτόν,
τοῖς ὀρνέοις πέτασθαι,
τοῖς ἀνδράσιν φρόνημα·
γυναιξὶν οὐκ ἔτ' εἶχεν;
τί οὖν δίδωσι; κάλλος,
ἀντ' ἀσπίδων ἁπασῶν
ἀντ' ἐγχέων ἁπάντων.
νικᾷ δὲ καὶ σίδηρον
καὶ πῦρ καλή τις οὖσα.

στ. 8. κοινῶς γρ. γυναιξὶν οὐκ ἔτ' εἶχεν. ὑπακούειν εἰκότως δεῖ, δοῦναί τι; εἶχε δέ.

2. ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτίοις ποθ' ὥραις,
στρέφεται ὅτ' Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων δὲ φῦλα πάντα
κέαται κόπῳ δαμέντα,
τότ' Ἔρως ἐπισταθείς μευ
θυρέων ἔκοπτ' ὀχῆας;

τίς, ἔφην, θύρας ἀράσσει;
κατά μευ σχίσεις ὀνείρους.
ὁ δ' Ἔρως, ἄνοιγε, φησί,
βρέφος εἰμί, μὴ φοβηθῇς,
βρέχομαι δέ, κἀσέληνον
κατὰ νύκτα πεπλάνημαι.
ἐλέησα ταῦτ' ἀκούσας,
ἀνὰ δ' εὐθὺ λύχνον ἅψας
ἀνέῳξα, καὶ βρέφος μὲν
ἐσορῶ φέροντα τόξον,
πτέρυγάς τε καὶ φαρέτρην·
παρὰ δ' ἱστίην καθίξας
παλάμαισι χεῖρας αὐτοῦ
ἀνέθαλπον, ἐκ δὲ χαίτης
ἀπέθλιβον ὑγρὸν ὕδωρ.
ὁ δ', ἐπεὶ κρύος μεθῆκε,
φέρε, φησί, πειράσωμεν
τόδε τόξον, ἐς τί μοι νῦν
βλάβεται βραχεῖσα νευρή.
τανύει δέ, καί με τύπτει
μέσον ἧπαρ, ὥσπερ οἶστρος,
ἀνὰ δ' ἅλλεται καχάζων,
ξένε, δ' εἶπε, συγχάρηθι,
κέρας ἀβλαβὲς μέν ἐστι,
σὺ δὲ καρδίαν πονήσεις.

στ. 11. κοινῶς γρ. φόβησαι. 30. ξένε δ', εἶπε.

3. ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐπὶ μυρσίναις τερείναις,
ἐπὶ λωτίναις δὲ ποίαις
στορέσας θέλω προπίνειν.
ὁ δ' Ἔρως, χιτῶνα δήσας
ὑπὲρ αὐχένος παπύρῳ,
μέθυ μοι διακονείτω.
τροχὸς ἅρματος γὰρ οἷα
βίοτος τρέχει κυλισθείς·
ὀλίγη δὲ κεισόμεσθα
κόνις, ὀστέων λυθέντων.
τί σε δεῖ λίθον μυρίζειν;
τί δὲ γῇ χέειν μάταια;
ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
μύρισον, ῥόδοις δὲ κρᾶτα
πύκασον, κάλει δ' ἑταίρην.
πρὶν ἐκεῖσε δεῖ μ' ἀπελθεῖν
ὑπὸ νερτέρων, χορείαις
σκεδάσαι θέλω μερίμνας.

στ. 17. κοινῶς γρ. χορείας.

4. ΕΙΣ ΡΟΔΟΝ.

Τὸ ῥόδον τὸ τῶν Ἐρώτων
μιξώμεθα Διονύσῳ·
τὸ ῥόδον τὸ καλλίφυλλον

κροτάφοισιν ἁρμόσαντες
πίνωμεν ἁβρὰ γελῶντες.
τὸ ῥόδον φέριστον ἄνθος·
ῥόδον εἴαρος μέλημα·
[ῥόδα καὶ θεοῖσι τερπνά,]
ῥόδα, τοῖς ὁ παῖς Κυθήρης
στέφεται καλοὺς ἰούλους
Χαρίτεσσι συγχορεύων.
στεψώμεθ' οὖν, λυρίζων ὡ
παρὰ σοῖς, Ἴακχε, σηκοῖς·
κούρης μετὰ βαθυκόλπου,
ῥοδίνοις στέφεσσιν ἰσχνὰς
πεπυκασμένος, χορεύσω.

στ. 2. κοινῶς γρ. μίξωμεν. 12. στέφωμεθ'. 13. Διόνυσε. 14. μετὰ κούρης. 15. ῥοδίνοισι στεφανίσκοις· ἰσχνὰς, τουτέστι, τρίχας.

5. ΚΩΜΟΣ.

Στεφάνους ἐνὶ κροτάφοισι
ῥοδίνους συναρμόσαντες
μεθύωμεν ἁβρὰ γελῶντες·
ὑπὸ βαρβίτῳ δὲ κούρη
κατὰ κισσίνοις βρέμοντας
πλοκάμοις φέρουσα θύρσους
χλιδανόσφυρος χορεύει.

ἅμα κοῦρος ἀβροχαίτας,
στομάτων γλυκὺ πνεόντων,
κατὰ πηκτίδων ἀθύρει,
προχέων λίγειαν ὀμφάν.
ὁ δ' Ἔρως ὁ χρυσοχαίτας
μετὰ τοῦ καλοῦ Λυαίου
καὶ τῆς καλῆς Κυθήρης
τὸν ἐπήρατον γεραιοῖς
κῶμον μέτεισι χαίρων.

στ. 1. κοινῶς γρ. στεφάνους μὲν κρ. 3. μεθύομεν. 5. κατὰ κίσσοισι. 8. ἀβροχαίτας δ' ἅμα. κ.

6. ΕΙΣ ΕΡΩΤΑ.

Ὑακινθίνῃ με ῥάβδῳ
χαλεπῶς Ἔρως ῥαπίζων
ἐκέλευε συντροχάζειν·
διὰ δ' ὀξέων μ' ἀναύρων
ξυλόχων τε καὶ φαράγγων
τροχάοντα τεῖρεν ἱδρώς,
κραδίη δὲ ῥινὸς ἄχρις
ἀνέβαινε, κἂν ἀπέσβην.
ὁ δ' Ἔρως μέτωπα σαίνων
ἁπαλοῖς πτεροῖσιν, εἶπε·
σὺ γὰρ οὐ δύνῃ φιλῆσαι;

στ. 9. κοινῶς γρ. σείων. 11. φιλῆσαι.

7. ΕΙΣ ΤΟΝ ΕΑΥΤΟΥ ΟΝΕΙΡΟΝ.

Διὰ νυκτὸς ἐγκαθεύδων
ἁλιπορφύροις τάπησι
γεγανωμένος Λυαίῳ·
ἐδόκουν ἄκροισι ταρσοῖς
δρόμον ὠκὺν ἐκτανύειν,
μετὰ παρθένων ἀθύρων.
ἐπεκερτόμουν δὲ παῖδες
ἁπαλώτεροι Λυαίου,
δακέθυμ' ἐμοὶ λέγοντες
διὰ τὰς καλὰς ἐκείνας.
ἐθέλοντα δ' ἕνα φιλῆσαι
φύγον ἐξ ὕπνου με πάντες.
μεμονωμένος δ' ὁ τλήμων
πάλιν ἤθελον καθεύδειν.

στ. 3. κοινῶς γρ. γεγανυμένος. 9. δακέθυμά μοι. 11. ἐθέλοντα δὲ φιλῆσαι.

8. ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

Ἐρασμίη πέλεια,
πόθεν δέον πέτασθαι,
πόθεν μύρων τοσούτων,
ἐπ' ἠέρος θέουσα,
πνέεις τε καὶ ψεκάζεις;
τίς εἶ; τί σοι μέλει δέ;

Ἀνακρέων μ' ἔπεμψε
πρὸς παῖδα, πρὸς Βάθυλλον,
τὸν ἄρτι τῶν ἁπάντων
κρατοῦντα καὶ τύραννον.
πέπρακέ μ' ἡ Κυθήρη,
λαβοῦσα μικρὸν ὕμνον,
ἐγὼ δ' Ἀνακρέοντι
διακονῶ τοσαῦτα.
καὶ νῦν, ὁρᾷς, ἐκείνου
ἐπιστολὰς κομίζω·
καί φησιν εὐθέως με
ἐλευθερὴν ποιήσειν·
ἐγὼ δὲ, κἢν ἀφῇ με,
δούλη μενῶ παρ' αὐτῷ.
τί γάρ με δεῖ πέτασθαι
ὄρη τε καὶ κατ' ἀγρούς,
κἀν δένδρεσιν καθίζειν, —
φαγοῦσαν ἄγριόν τι;
τανῦν ἔδω μὲν ἄρτον
ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
πιεῖν δ' ἐμοὶ δίδωσι
τὸν οἶνον, ὃν προπίνει.
πιοῦσα δ' ἂν χορεύω,
καὶ δεσπότην ἐμοῖσι
πτεροῖσι συσκιάζω·

κοιμωμένη δ' ἐπ' αὐτῷ
τῷ βαρβίτῳ καθεύδω.
ἔχεις ἅπαντ'. ἄπελθε·
λαλιστέραν μ' ἔθηκας,
ἄνθρωπε, καὶ κορώνης.

στ. 2. κοινῶς γρ., πόθεν, πόθεν πέτασαι. βραχὺ δὲ τὸ τα ἐν τῷ πέτασαι. 23. καὶ δένδρεσιν. 35. ἄπελθε.

9. ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ.

Ἔρωτα κήρινόν τις
νεηνίης ἐπώλει·
ἐγὼ δέ οἱ παραστάς,
πόσου θέλεις, ἔφην, σοὶ
τὸ τυχθὲν ἐκπρίωμαι;
ὁ δ' εἶπε δωριάζων·
λάβ' αὐτὸν ὁππόσου λῇς·
ὅμως ἵν' ἐκμάθῃς νιν,
οὐκ εἰμὶ καροτέχνας·
ἀλλ' οὔ τι λῶ συνοικῆν
Ἔρωτι παντορέκτᾳ.
δὸς οὖν, δὸς αὐτὸν ἡμῖν
δραχμῆς καλὸν σύνευνον.
Ἔρως, σὺ δ' εὐθέως με
πύρωσον· εἰ δὲ μή, σὺ
κατὰ φλογὸς τακήσῃ.

10. ΕΙΣ ΕΑΥΤΟΝ.

Λέγουσιν αἱ γυναῖκες·
Ἀνακρέων, γέρων εἶ·
λαβὼν ἔσοπτρον ἄθρει
κόμας μὲν οὐκ ἔτ' οὔσας,
ψιλὸν δὲ τὸ μέτωπον.
Ἐγὼ δὲ τὰς κόμας μὲν,
εἴτ' εἰσὶν, εἴτ' ἀπῆλθον,
οὐκ οἶδα· τοῦτο δ' οἶδα,
ὡς τῷ γέροντι μᾶλλον
πρέπει τὰ τερπνὰ παίζειν,
ὅσῳ πέλας τὰ Μοίρης.

11. ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Τί σοι θέλεις ποιήσω,
τί, κωτίλη χελιδών;
τὰ ταρσά σευ τὰ κοῦφα
θέλεις λαβὼν ψαλίξω;
ἢ μᾶλλον ἔνδοθέν σευ
τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς
ἐκεῖνος, ἐκθερίξω;
τί μευ καλῶν ὀνείρων
ὑπορθρίοισι φωναῖς
ἀφήρπασας Βάθυλλον;

12. ΕΙΣ ΕΑΥΤΟΝ.

Οἱ μὲν καλῆς Κυβήβης
τὸν ἡμίθηλυν Ἄττιν
ἐν οὔρεσιν βοῶντες
λέγουσιν ἐκμανῆναι·
Οἱ δὲ Κλάρου παρ' ὄχθαις
δαφνηφόροιο Φοίβου
λάλον πιόντας ὕδωρ
μεμηνότας γοῶσιν·
ἐγὼ δὲ τοῦ Λυαίου
καὶ τοῦ μύρου κορεσθείς,
κὲκ τῆς ἐμῆς ἑταίρης
θέλω, θέλω μανῆναι.

στ. 1. κοινῶς γρ., καλὴν Κυβήβην. 3. βοῶντα· βοῶντες δὲ οἱ Γαλλοί. 8. βοῶσιν· παρὰ δὲ τῷ Πλινίῳ (2, 106) κεῖται: Colophone in Apollinis Clarii specu lacuna est, cujus potu mira redduntur oracula, bibentium breviore vita. διὸ προειλόμεθα ἐνταῦθα γράφειν γοῶσιν. 11. καὶ τῆς ἐμῆς ἑταίρης.

13. ΕΙΣ ΕΡΩΤΑ.

Θέλω, θέλω φιλῆσαι·
ἔπειθ' Ἔρως φιλεῖν με·
ἐγὼ δ' ἔχων νόημα
ἄβουλον οὐκ ἐπείσθην.
ὁ δ' εὐθὺ τόξον ἄρας

καὶ χρυσέην φαρέτρην.
μάχῃ με προὐκαλεῖτο.
κἀγὼ λαβὼν ἐπ' ὤμων
θώρηχ', ὅπως Ἀχιλλεύς,
καὶ δοῦρα καὶ βοείην
ἐμαρνάμην Ἔρωτι.
ἔβαλλ', ἐγὼ δ' ἔφευγον.
ὡς δ' οὐκ ἔτ' εἶχ' ὀϊστούς,
ἤσχαλλεν, εἶθ' ἑαυτὸν
ἀφῆκεν εἰς βέλεμνον·
μέσος δὲ καρδίης μευ
ἔδυνε καί μ' ἔλυσε.
μάτην δ' ἔχω βοείην·
τί γὰρ λάθω νιν ἔξω,
μάχης ἔσω μ' ἐχούσης.

στ. 19. κοινῶς γρ., τί γὰρ βάλωμεν ἔξω. ταῦτα μὲν καλῶς ἔχει πρὸς δοῦρα ἐν στίχῳ τῷ δεκάτῳ ἀποβλέπουσι· τὰ δὲ ἡμέτερα συμφωνεῖ τῷ ἔφευγον ἐν στ. 12. καὶ τοῖς ἄρτι λεγομένοις μάτην δ' ἔχω βοείην. 20. Πρὸς ταῦτα ἀποτείνειν δοκεῖ Ἀντίπατρος ὁ Σιδώνιος ἐν τῷ ἐπιγράμματι: Εὕδεις ἐν φθιμένοισι.

14. ΕΙΣ ΤΟ ΑΝΕΠΙΦΘΟΝΩΣ ΖΗΝ.

Οὔ μοι μέλει τὰ Γύγεω
τοῦ Σαρδίων ἄνακτος,

Οὐδ' εἷλέ πω σάλος με,
Οὐδὲ φθονῶ τυράννοις·
ἐμοὶ μέλει μύροισι
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισι
καταστέφειν κάρηνα·
τὸ σήμερον μέλει μοι,
τὸ δ' αὔριον τίς οἶδεν;

στ. 1—2. Δηλονότι τὸν Ἀρχίλοχον λέγει, ὃς ἐν ἰαμβείοις τὰ Γύγου διεξῆλθεν, ὡς μαρτυρεῖ Ἡρόδοτος (1, 12. 14). 3. κοινῶς μὲν γρ. οὐδ' εἷλέ πώ με ζῆλος, κακῶς δέ, ἐπεὶ τὸ ζ ἐν κυρίοις μόνον ὀνόμασι παρ' ἔστιν οἷς τῶν ποιητῶν ἁπλοῦν εὑρίσκεται. Ἐν οἷς δὲ ἡμεῖς ἔθεμεν, Ἀνακρέων αἰνίττεται τὴν Σαπφώ, τὴν ἐκ Λευκάδος εἰς τὴν θάλασσαν πηδήσασαν, ὥς φασιν, ὅπως ἔρωτος ἀμέτρου φάρμακον εὑρήσεται. 4. Τείνει πρὸς τὸν Ἄλκαιον τὸν καὶ ποιήμασι καὶ ὅπλοις πρὸς τυράννους διαγωνισάμενον.

15. ΕΙΣ ΕΑΥΤΟΝ.

Σὺ μὲν λέγεις τὰ Θήβης,
ὁ δ' αὖ Φρυγῶν ἀϋτάς·
ἐγὼ δ' ἐμὰς ἁλώσεις·
οὐχ ἵππος ὤλεσέν με,
οὐ πεζός, οὐχὶ νῆες,

στρατὸς δὲ καινὸς ἄλλος
ἀπ' ὀμμάτων βαλών με.

16. ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ.

Τὸν ἄργυρον τορεύων,
Ἥφαιστ' ἐμοὶ ποίησον
πανοπλίαν μὲν οὐχί·
τί γὰρ μάχαισι κἀμοί;
ποτήριον δὲ κοῖλον,
ὅσον δύνῃ, βαθύνας.
ποίει δέ μοι κατ' αὐτὸ
μήτ' ἄστρα, μήθ' ἁμάξας,
μὴ στυγνὸν Ὠρίωνα.
τί Πλειάδων μέλει μοι;
τί δ' ἀστέρος Βοώτεω;
ποίησον ἀμπέλους μοι,
καὶ βότρυας κατ' αὐτῶν,
καὶ Μαινάδας τρυγώσας·
ποίει δὲ ληνὸν οἴνου,
καὶ χρυσέους πατοῦντας
ὁμοῦ καλῷ Λυαίῳ
Ἔρωτα καὶ Βάθυλλον.

στ. 1. τορεύσας. παρὰ Γελλίῳ (N. A. 19, 9). 6. παρὰ τῷ αὐτῷ βάθυνον. 8. κοινῶς ἅμαξαν, ὁ δὲ Γέλλιος ἔχει ἁμάξας, ὃ βέλτιον ἐκείνου φαίνεται, ἀμφοτέρων τῶν

Ἄρκτων ἁμαξῶν καλουμένων καὶ ἅμα ἀεὶ ὁρωμένων, ὅτε μὴ νεφέλη ἢ κνέφας κωλύει. 10. *παρὰ Γελλίῳ ἐστί, τί Πλειάδεσσι κἀμοί.* 11. *παρὰ τῷ αὐτῷ, τί δ' ἄστρασι Βοώτειο, ἃ ἀθετητέον, ὅτι μόνον τὸν Ἀρκτοῦρον λέγει ὁ π.* 14—15. *ταῦτ' ἄπεστι ἀπὸ τοῦ Γελλίου. σημείωσαι δέ, ὅπως καὶ πάλαι ἤδη ταῦτα τὰ ᾄσματα ἠλλοίωτό τε καὶ πεπήρωτο.*

17. *ΕΙΣ ΤΟ ΔΕΙΝ ΠΙΝΕΙΝ.*

Ἡ γῆ μέλαινα πίνει,
πίνει δὲ δένδρε' αὐτήν·
πίνει θάλασσ' ἀναύρους,
ὁ δ' ἥλιος θάλασσαν,
τὸν δ' ἥλιον σελήνη·
τί μοι μάχεσθ', ἑταῖροι,
καὐτῷ θέλοντι πίνειν;

18. *ΕΙΣ ΚΟΡΗΝ.*

Ἡ Ταντάλου ποτ' ἔστη
λίθος Φρυγῶν ἐν ὄχθαις,
καὶ παῖς ποτ' ὄρνις ἔπτη
Πανδίονος χελιδών.
ἐγὼ δ' ἔσοπτρον εἴην,
ὅπως ἀεὶ βλέπῃς με·
ἐγὼ χιτὼν γενοίμην,
ὅπως ἀεὶ φορῇς με.

ὕδωρ θέλω γενέσθαι,
ὅπως σε χρῶτα λούσω.
μύρον, γύναι, γενοίμην,
ὅπως ἐγώ σ' ἀλείψω.
καὶ ταινίη δὲ μαστῶν,
καὶ μάργαρον τραχήλῳ,
καὶ σάνδαλον γενοίμην·
μόνον ποσὶν πάτει με.

19. ΕΙΣ ΕΑΥΤΟΝ.

Δότε, μὴ δίδοτε, γυναῖκες,
Βρομίου πιεῖν ἀμυστί·
ὑπὸ καύματος γὰρ ἤδη
προδοθεὶς ἀναστενάζω.
δότε δ' ἀνθέων ἐκείνου·
στεφάνους δ', οἵοις πυκάζω
τὰ μέτωπά μου, 'πικαίω.
τὸ δὲ καῦμα τῶν Ἐρώτων,
κραδίη, τίνι σκεπάζω.

στ. 1. κοινῶς γρ., Δότε μοι, δότ' ὦ γυναῖκες, ἃ τὴν τοῦ ᾀσματίου γνώμην σκοτεινὴν ἐποίησεν. ἔστι δέ, ἅπαξ, μὴ πολλάκις, δότε μοι πιεῖν. Οὕτω δὲ οὐδὲ πηρὸν φανήσεται. 4. προδοθείς. ὁ γὰρ οἶνος ἀληθεύειν ἀναγκάζει, ἀλλ' οὐδὲ τούτου δεῖ, ἐπεὶ τὸ τοῦ ἔρωτος καῦμα ἱκανόν ἐστι αὐτὸν προδιδόναι.

20. ΕΙΣ ΒΑΘΥΛΛΟΝ.

Παρὰ τὴν σκιὴν Βαθύλλου
καθίσω· καλὸν τὸ δένδρον·
ἁπαλὰς δ' ἔσεισε χαίτας
μαλακωτάτῳ κλαδίσκῳ.
παρὰ δ' αὐτὸν ἔτ' ἐρεθίζει
πηγὴ ῥέουσα πειθοῦς.
Τίς ἂν οὖν ὁρῶν παρέλθοι
καταγώγιον τοιοῦτο;

στ. 5. κοινῶς, παρὰ δ' αὐτὸν ἐρεθίζει.

21. ΕΙΣ ΤΟΝ ΠΛΟΥΤΟΝ.

Ὁ πλοῦτος εἴ γε χρυσοῦ
τὸ ζῆν παρεῖχε θνητοῖς,
ἐκαρτέρουν φυλάσσων,
ἵν', ἂν θενὼν ἐπέλθῃ,
λάβῃ τι καὶ ἀπέλθῃ.
ἢ δ' οὔ τί που πρίασθαι
τὸ ζῆν ἔνεστι θνητοῖς,
τί καὶ μάτην στενάζω;
τί καὶ γόους προπέμπω;
θανεῖν γὰρ εἰ πέπρωται,
τί χρυσὸς ὠφελεῖ με;
ἐμοὶ γένοιτο πίνειν,
πιόντι δ' οἶνον ἡδὺν

ἐμοῖς φίλοις συνεῖναι,
ἀπαλαῖσιν ἔν τε κοίταις
τελεῖν τά γ' Ἀφροδίτης.

στ. 4. θενῶν, τουτέστιν, ὁ Θάνατος, δι' εὐφημίας λεγόμενον. κοινῶς γρ. ἵν' ἀσθενεῖν ἐπέλθῃ. 6. εἰ δ' οὔ τί που κ. τ. λ. ὃ παράνομον· πρὸς τούτοις ὁ πρότερον εἰ ἀδύνατόν τι ὑποθέμενος οὐκ ἐᾷ δεύτερον εἰ ἐπιφέρειν αὐτῷ ἀντίστροφον. 16. κοινῶς γρ. τελεῖν τὰν Ἀφροδίταν.

22. ΕΙΣ ΤΗΝ ΕΑΥΤΟΥ ΕΤΑΙΡΗΝ.

Ῥοδέης κάρανε τέχνης,
ἀπεοῦσαν, ὡς ἂν εἴπω,
γράφε τὴν ἐμὴν ἑταίρην.
γράφε μοι τρίχας τὸ πρῶτον
ἀπαλάς τε καὶ μελαίνας·
ὁ δὲ κηρὸς ἂν δύνηται,
γράφε καὶ μύρου πνεούσας.
γράφε δ' ἐξ ὅλης παρειῆς
ὑπὸ πορφυραῖσι χαίταις
ἐλεφάντινον μέτωπον·
τὸ μεσόφρυον δὲ μή μοι
διάκοπτε, μήτε μίσγε·
ἐχέτω δ', ὅπως ἐκείνη,
τὸ λεληθότως σύνοφρυ,
βλεφάρων ἴτυν κελαίνην.

τὸ δὲ βλέμμα νῦν ἀληθῶς
ἀπὸ τοῦ πυρὸς ποίησον,
ἅμα γλαυκόν, ὡς Ἀθήνης,
ἅμα δ' ὑγρόν, ὡς Κυθήρης.
γράφε ῥῖνας καὶ παρειὰς
ῥόδα τῷ γάλακτι μίξας·
γράφε χεῖλος, οἷα Πειθοῦς,
προκαλούμενον φίλημα·
τρυφεροῦ δ' ἔσω γενείου
περὶ λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
στόλισον τὸ λοιπὸν αὐτὴν
ὑποπορφύροισι πέπλοις·
διαφαινέτω δὲ σαρκῶν
ὀλίγον, τὸ σῶμ' ἐλέγχον.
ἀπέχει· βλέπω γὰρ αὐτήν·
τάχα, κηρέ, καὶ λαλήσεις.

Τοὺς δύο στίχους τοὺς ἐν τῇ ἀρχῇ τοῦ μέλους κοινῶς γραφομένους, Ἄγε ζωγράφων ἄριστε, Γράφε, ζωγράφων ἄριστε, ἡμῖν ἔδοξεν ἐκβαλεῖν καὶ γλώσσημα τοῦ νῦν πρώτου στίχου μόνον ἔχοντας τοῦ ποιητοῦ ἀνάξιον καὶ διὰ τὸ Ζ, οὗ πέρι πρὸς τὸ τέταρτον καὶ δέκατον ἤδη ἐλέγομεν. στ. 1. Ῥοδέης. Οὕτω παλαιόν· εἰ καὶ ὀρθόν, οὐκ ἴσμεν. Ἐννοοῦμεν δέ, τῆς ἀρίστης τέχνης· ὥσπερ γὰρ ἐν τῷ τετάρτῳ ᾄσματι

τὸ ῥόδον ἀποκαλεῖ τὸ φέριστον ἄνθος, οὕτω καὶ τὴν τῶν ζωγράφων τέχνην ῥοδέην, πρὸς τὰ χρώματα δὴ τῶν πινάκων ἐπιπολάζοντα ἀποβλέπων, παραπλησίως δὲ τῷ Χρύσεον, ᾧ οἱ ποιηταὶ ἐπὶ καλοῖς τοῖς στερεοῖς χρῶνται. Εἰ δ' ἀληθές, ὃ Στέφανος ὁ πάνυ εἰςῆγεν, Ῥοδίης, δεῖ μὴ ζωγράφους Ῥοδίους ἐνθυμεῖσθαι, ἐπεὶ πάντες οἱ νῦν ἀρχαιολόγοι ἐν Κορίνθῳ καὶ ἐν Σικυῶνι ὁμολογοῦσι τοὺς πρώτους ζωγράφους ἀξιολόγους ἐπ' Ἀνακρέοντος σχεδὸν γεγονέναι, ἀλλ' ἀνδριαντοποιούς· τοιοῦτοι γὰρ τεχνῖται πάλαι ἐν Ῥόδῳ εὐδοκίμησαν, ὥσπερ ἐπιμαρτυρεῖ Πίνδαρος (ολ. VII. 95. καὶ τὰ σχόλια) Οἰόντε δὲ καὶ Ῥοίκου τοῦ Σαμίου τοῦ ἀνδριαντοποιοῦ ἢ πλαστικοῦ, ὃς Ἀνακρέοντι σχεδὸν ὁμόχρονος λέγεται, τοὔνομα ἐνταῦθα λαθεῖν, οὗγε τὴν τέχνην ἔτι τραχεῖαν οὖσαν μνημονεύει ὁ Πλίνιος [35, 12] καὶ ὁ Παυσανίας [X, 38. 3]. Ὅ τι δ' ἂν ᾖ τὸ ὀρθόν, ἡ ἔννοια δοκεῖ εἶναι· Σύ, ὦ ζωγράφε, ὃς τοὺς ἑτέρους τεχνίτας ὑπερβάλλεις· ὃ οὐκ ἀπίθανον δια τά χρώματα, δι' ὧν τὰ ζῶα μᾶλλον εἰκάζεται τῶν ἐκ λίθου ἢ ξυλίνων. Τὸ λοιπὸν ὁ ποιητὴς ἴσως ἐνενόησε τὴν ἑταίραν αὐτοῦ Εὐρυπύλην, ἧς μνείαν ποιεῖται ὁ Διοςκορίδης ἐν Σμερδίῃ ἐπὶ Θρῃκί.

23. ΕΙΣ ΒΑΘΥΛΛΟΝ.

Γράφε μοι Βάθυλλον οὕτω
τὸν ἑταῖρον, ὡς διδάσκω·

λιπαρὰς κόμας ποίησον,
τὰ μὲν ἔνδοθεν, μελαίνας,
τὰ δ' ἐς ἄκρον, ἡλιώσας·
ἕλικας δ' ἐλευθέρας μοι
πλοκάμων, ἄτακτα συνθεὶς,
ἄφες, ὡς θέλωσι, κεῖσθαι.
ἁπαλὸν δὲ καὶ δροσῶδες
στεφέτω μέτωπον ὀφρὺς
κυανωτέρη δρακόντων.
μέλαν ὄμμα γοργὸν ἔστω,
κεκερασμένον γαλήνῃ,
τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
τὸ δὲ τῆς καλῆς Κυθήρης,
ἵνα τις τὸ μὲν φοβῆται,
τὸ δ' ἀπ' ἐλπίδος κρέμηται.
ῥοδίνην δ', ὁποῖα μῆλον,
χνοΐην ποίει παρειὴν,
ἐρύθημα δ', ὡς ἀπ' Αἰδοῦς
δύνασαι λαβεῖν, ποίησον.
τὸ δὲ χεῖλος, οὐκ ἔτ' οἶδα,
τίνι μοι τρόπῳ ποιήσεις —
ἁπαλόν γέμον τε Πειθοῦς·
τὰ δ' ἐπῶν ὁ κηρὸς αὐτὸς
ἐχέτω λαλῶν σιωπῇ.
μετὰ δὲ πρόσωπον ἔστω
τὸν Ἀδώνιδος παρελθὼν

ἐλεφάντινον τράχηλος·
μεταμάζιον δὲ ποίει
διδύμας τε χεῖρας Ἑρμοῦ,
Πολυδεύκεος δὲ μηρούς,
Διονυσίην δὲ νηδύν.
ἁπαλῶν δ' ὕπερθε μηρῶν,
μηρῶν τὸ πῦρ ἐχόντων,
ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
φθονερὴν ἔχεις δὲ τέχνην,
ὅτι μὴ τὰ νῶτα δεῖξαι
δύνασαι· τάδ' ἦν ἀμείνω.
τί με δεῖ πόδας διδάσκειν;
λάβε μισθὸν ὅσσον εἴπῃς.
τοῦτον δὲ τὸν ἀπὸ Λητοῦς
καθελὼν ποίει Βάθυλλον·
ἢν δ' ἐς Σάμον ποτ' ἔλθῃς,
γράφε Φοῖβον ἐκ Βαθύλλου.

στ. 6. κοινῶς γρ. ἐλευθέρους. 8. κεῖσθαι· τὸ δὲ ἄφες κίνησίν τινα δείκνυσι. 17. κρεμᾶται. 20. ἂν Αἰδοῦς. 21. βαλεῖν. 25. τί δὲ πᾶν· ὥσπερ γὰρ ὁ κηρὸς τὸ μέλι κατέχει, οὕτως ἐνταῦθα ἐχέτω τὰ ἔπη γλυκίονα μέλιτος. 29. ἐλεφάντινος. 40. τὰ δ' ἦν ἀμείνω. 43. τοῦτον δὲ τὸν 'Απόλλωνα.

24. ΕΙΣ ΕΡΩΤΑ.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
δήσασαι στεφάνοισι
τῷ κάλλει παρέδωκαν.
καὶ νῦν ἡ Κυϑέρεια
ζητεῖ, λύτρα φέρουσα,
λύσασϑαι τὸν Ἔρωτα.
κἂν λύσῃ δέ τις αὐτόν,
οὐκ ἔξεισι, μενεῖ δέ·
δουλεύειν δεδίδακται.

25. ΕΙΣ ΕΑΥΤΟΝ.

Ἄφες με τοῖς ϑεοῖσι
πιεῖν, πιεῖν ἀμυστὶ
ϑέλω, ϑέλω μανῆναι.
ἐμαίνετ' Ἀλκμαίων τε
χ' ὁ λευκόπους Ὀρέστης
τὰς μητέρας κτανόντες·
ἐγὼ δ' ὁ μηδένα κτάς,
πιὼν δ' ἐρυϑρὸν οἶνον,
ϑέλω, ϑέλω μανῆναι.
ἐμαίνεϑ' Ἡρακλῆς πρὶν
δεινὴν κλονῶν φαρέτρην
καὶ τόξον Ἰφίτειον.
ἐμαίνετο πρὶν Αἴας
μετ' ἀσπίδος κραδαίνων

τὴν Ἕκτορος μάχαιραν·
ἐγὼ δ' ἔχων κύπελλον
καὶ στέμμα τοῦτο χαίταις,
οὐ τόξον, οὐ μάχαιραν,
θέλω, θέλω μανῆναι.

στ. 7. κοινῶς γρ. ἐγὼ δὲ μηδένα κτάς.

26. ΕΙΣ ΤΟΥΣ ΕΑΥΤΟΥ ΕΡΩΤΑΣ.

Εἰ φύλλ' ἅπαντα δένδρων
ἐπίστασαι κατειπεῖν,
εἰ κύματ' οἶδας εὑρεῖν
τὰ τῆς ὅλης θαλάσσης,
σὲ τῶν ἐμῶν Ἐρώτων
μόνον ποιῶ λογιστήν.
πρῶτον μὲν ἐξ Ἀθηνῶν
Ἔρωτας εἴκοσιν θὲς
καὶ πέντε καὶ δέκ' ἄλλους.
ἔπειτα δ' ἐκ Κορίνθου
θὲς ὁρμαθοὺς Ἐρώτων
Ἀχαΐης γάρ ἐστιν,
ὅπου καλαὶ γυναῖκες.
τίθει δὲ Λεσβίους μοι,
καὶ μέχρι τῶν Ἰώνων,
καὶ Καρίης Ῥόδου τε
δισχιλίους Ἔρωτας. —
τί φής; ἃ σοί γ' ἐρῶ, θές.

οὔπω Σύρους ἔλεξα,
οὔπω πόθους Κανώβου·
οὐ τῆς ἅπαντ' ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.
τί σοι θέλεις ἀριθμῶ
Γάδειρ' ἴκοντας ἐκτός,
τοὺς Βακτρίων τε κ' Ἰνδῶν
ψυχῆς ἐμῆς Ἔρωτας;

στ. 1. κοινῶς γρ. πάντα. τοὺς ἀμφὶ Πυθαγόραν δοκεῖ ἐπὶ τῇ περὶ ἀριθμοὺς σοφίᾳ πράως πως κωμῳδεῖν. 18. τί φῄς; ἀεὶ κηρῷ θές. 25. καὶ τοὺς Γαδείρων ἐκτός. Νῦν δὲ ἡ ἐκτὸς ποιεῖ ὑπακούειν τῶν στηλῶν Ηρ. καὶ ἅμα συνδεῖσθαι τοῖς Βακτρίων τε κἰνδῶν δύναται, οὐ μέντοι ἀναγκαῖον τοῦτο.

27. ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Σὺ μέν, φίλη χελιδών,
ἐτησίη μολοῦσα
θέρει πλέκεις καλιήν·
χειμῶνι δ' εἶς ἄφαντος
ἢ 'ς κοῖλον ἢ 'πὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
ἐν καρδίῃ καλιήν·
πόθος δ' ὁ μὲν πτεροῦται,
ὁ δ' ᾠόν ἐστιν ἀκμήν,

ὁ δ' ἡμίλεπτος ἤδη.
βοὴ δὲ γίγνετ' αἰεὶ
κεχηνότων νεοσσῶν.
Ἐρωτιδεῖς δὲ μικροὺς
οἱ μείζονες τρέφουσιν·
οἱ δὲ τραφέντες, εὐθὺς
πάλιν κυοῦσιν ἄλλους.
τί μῆχος οὖν γένηται;
οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκσοβῆσαι.

στ. 5. κοινῶς γρ. ἢ Νεῖλον· τοῦτο δὲ ταὐτὸ ὂν τοῖς ἑπομένοις οὐ ποιεῖ διαζευγμόν. Οἷς δὲ ἡμεῖς εἰςηγάγομεν ἐπιμαρτυρεῖ καὶ Ἀριστοτέλης (περὶ τὰ ζῶα ἱστ. Θ, 16) λέγων „ἤδη γὰρ ὠμμέναι πολλαὶ χελιδόνες εἰσὶν ἐν ἐγγείοις (κοινῶς γρ. ἀγγείοις) ἐψιλωμέναι πάμπαν, καὶ ἰκτῖνοι ἐκ τοιούτων ἐκπετόμενοι χωρίων, ὅταν φαίνωνται τὸ πρῶτον.“ Ἴσως παρὰ τῷ αὐτῷ ἀντὶ τοῦ ἐψιλωμέναι γραπτέον ἐψυχωμέναι, τουτέστι, ἐῤῥιγημέναι· πῶς γὰρ ἂν δύναιντο ἐπ ἦρος ἐντεῦθεν πάλιν φαίνεσθαι;

28. ΕΙΣ ΚΟΡΗΝ.

Μή με φύγῃς, ὁρῶσα
τὰν πολιὰν ἔθειραν·
μήδ', ὅτι σοὶ πάρεστιν

ἀκμαῖον ἄνθος ὥρας,
τἀμὰ φίλτρα διώξῃς.
ὅρα κἀν στεφάνοισιν
ὅπως τὰ λευκὰ πρέπει
κρίνα πλακέντα ῥόδοις.

στ. 5. μὴ — διώξῃς, τουτέστι — μὴ μέμψῃ· διώκειν γὰρ δύναται καὶ κατηγορεῖν. 7. κοινῶς γρ. ὅπως πρέπει τὰ λευκά: ὃ οὐκ εὖ ἔχει. οἱ γὰρ στίχοι εἰσὶ Φερεκράτειοι πολυσχημάτιστοι καὶ ἐν τούτῳ συγγενεῖς ὄντες τῶν Γλυκωνείων. 8. ῥόδοις κρίνα πλακέντα.

29. ΕΙΣ ΕΥΡΩΠΗΣ ΕΙΚΟΝΑ.

Ὁ ταῦρος οὗτος, ὦ παῖ,
Ζεύς μοι δοκεῖ τις εἶναι·
φέρει γὰρ ἀμφὶ νώτοις
Σιδωνίην γυναῖκα·
περᾷ δὲ πόντον εὐρύν,
τέμνει τε κῦμα χηλαῖς.
οὐκ ἂν δὲ ταῦρος ἄλλος
ἀγέλης τις ἐξελασθεὶς
ἔπλευσε τὴν θάλασσαν,
εἰ μὴ μόνος ἐκεῖνος.

στ. 8. κοινῶς γρ. ἐξ ἀγέλης ἐλασθείς.

30. ΕΙΣ ΤΟ ΑΝΕΙΜΕΝΩΣ ΖΗΝ.

Τί με τοὺς νόμους διδάσκεις
καὶ ῥητόρων ἀνάγκας;
τί δ᾽ ἐμοὶ λόγων τοσούτων
τῶν μηδὲν ὠφελούντων;
μᾶλλον δίδασκε πίνειν
ἁπαλὸν πότον Λυαίου·
μᾶλλον δίδασκε παίζειν
χρυσῆς μετ᾽ Ἀφροδίτης.
πολιαὶ κάρη στέφουσιν.
δὸς ὕδωρ, βάλ᾽ οἶνον, ὦ παῖ,
ψυχὴν σύ μευ κάρωσον,
μὴ ζῶντα βραχὺ καλύψεις·
ὁ θανὼν τίνος ἐπιθυμεῖ;

στ. 6. κοινῶς γρ. πόμα. 8. μετὰ χρυσῆς. 9. κάρα. 11. τὴν ψυχήν μευ. 12. βραχὺ μὴ ζῶντα καλύπτεις. 13. ὁ θανὼν οὐκ ἐπιθυμεῖ.

31. ΕΙΣ ΤΟ ΕΑΡ.

Ἴδ᾽, ἐπ᾽ ἦρος ὡς φανέντος
Χάριτες ῥόδων βρύουσιν.
ἴδε κῦμ᾽ ὅπως θαλάσσης
ἁπαλύνεται γαλήνῃ.
ἴδε νῆσσαν, ὡς κολυμβᾷ.
ἴδ᾽ ὅπως γέρανος ὁδεύει.
ἀφελῶς δ᾽ ἔλαμψε Τιτάν.

νεφελῶν σκιαὶ δονοῦνται.
τὰ βροτῶν δ' ελαμψεν ἔργα·
καρποῖσι γαῖα κύπτει·
καρποὺς ἐλᾷ ἐλαιάς·
Βρόμιον στέφει τὸ νᾶμα·
καὶ φύλλα, κᾆτα κλῶνας
καθελὼν ἔφυσε καρπούς.

στ. 1. Ἴδε πῶς ἔαρος φανέντος. οὕτω κοινῶς γρ. ἐναντίον τῷ μέτρῳ. 2. ῥόδα. 3. ἴδε πῶς κῦμα θ. 5. ἴδε πῶς νῆσσα. 6. ἴδε πῶς γέρανος. 10. γῆ προκύπτει. Δῆλον δὲ ὅτι ἀπὸ τῶν δένδρων καρποὺς ἀφθόνως φερόντων μετήνεγκε τὴν παραβολὴν εἰς τὴν χλόαν οἷον κυμαίνουσαν. 11. καρπὸς ἐλαίας προκύπτει. Ἦρος γὰρ ἱσταμένου ἡ ἐλαιὰς οὔπω κέκτηται καρποὺς ἀλλ' ὀφθαλμοὺς καρπῶν, διὸ εἰκάσαι ἐτολμήσαμεν ἐλᾷ καρποὺς, τουτέστι προλήψει ἀντὶ ὀφθαλμούς, ὥςπερ Οὐεργίλιος (ἐν τοῖς Γεωργ. 2, 335) λέγει, trudit gemmas. 12. Βρομίου στέφεται τὸ νᾶμα. Ἡ δὲ γνώμη ἅμα τῷ μέτρῳ τοῦ στίχου κακῶς ἠλλοίωται· ἦρος γὰρ ἀρχομένου ὁ ἄμπελος, ὃς ἐνταῦθα τροπικῶς λέγεται Βρόμιος, περιτετμημένος ὑγραίνει· τοῦτο δὲ τὸ ὑγρὸν ἢ νᾶμα στέφει πως τὸν ἄμπελον, ὥςπερ οἴνῳ τὸ κύπελλον πλῆρες παρὰ Ὁμήρῳ στέφεται. 13. κατὰ φύλλον, κατὰ κλῶνας. 14. ἤνθισε καρπός. Οὕτω δὲ ἔπειτα ποιεῖ ὁ τῶν σταφυλῶν εὖ φροντίζων.

32. ΕΙΣ ΕΑΥΤΟΝ.

'Εγὼ γέρων μέν εἰμι,
νέων πλέον δὲ πίνω·
κεἰ δεῖ με συγχορεύειν,
σκήπτων ἔχω τὸν ἀσκόν·
νάρθηξ γὰρ οὐδέν ἐστιν.
ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι, καὶ μαχέσθω.
ἐμοὶ κύπελλον, ὦ παῖ,
μελιχρὸν οἶνον ἡδὺν
ἐνεκράσας, φόρησον.
ἐγὼ γέρων μέν εἰμι,
Σειληνὸν ἐν μέσοις δὲ
μιμούμενος χορεύσω.

στ. 3. κοινῶς γρ. κἂν δεήσῃ με χορεύειν. 4. σκῆπτρον. 5. ὁ νάρθηξ δ' οὐδέν ἐστιν. 7. παρέστω καί. 10. ἐγκεράσας· ἡ σπάνις τοῦ Ἐπικῶν ῥάζειν ἀντὶ τοῦ ῥαίνειν ἐποίησε ταύτην τὴν ἀπαιδεύτων ἐνταῦθα σύγχυσιν. ἡ δ' οὖν ἐνεκράσας ταὐτὸ μὲν δύναται τῇ ἐνεκχέας, ἔστι δ' ἠθικωτέρα ἢ γραφικωτέρα ἐκείνης, τοῦ ἔργου γιγνομένου ἐκ μείζονος ἄγγους ὑπερπλήθοντος μετὰ ψόφου, ὡς ἂν εἰ ἐπὶ κοττάβῳ ἐκ μόνον μὴ κενοῦ. 12. ἐν μέσοισι.

33. ΕΙΣ ΕΑΥΤΟΝ.

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τότε μευ ἰανθὲν ἦτορ
Μούσας λιγαῖνον ἄρχει.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
ἀπορίπτεται μέριμνα
πολυφρόντιδές τε βουλαὶ
ἐς ἁλικτύπους ἀήτας·
ὅτ' ἐγὼ πίω τὸν οἶνον
λυσιπήμονα, τότε Βάκχος
πολυανθέσιν μ' ἐν ὥραις
δονέει μέθῃ γανώσας.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
στεφάνοις ἄνηθα πλέξας,
ἐπιθεὶς δὲ τῷ καρήνῳ,
μέλπω βίου γαλήνην·
ὅτ ἐγὼ πίω τὸν οἶνον,
εὐωδίᾳ 'πιτέγξας
δέμας, ἀγκάλαισι κούρην
κατέχω Κύπριν τ' ἀείδω.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
ὑπόκυρτος ὤν κυπέλλοις,
τὸν ἐμὸν νόον ἁπλώσας,
θιάσῳ μ' ἔτερψα κούρων.
ὅτ' ἐγὼ πίω τὸν οἶνον,
τόδ' ἐμοὶ μόνον τὸ κέρδος

τότ' ἐγὼ λαβὼν ἀποίσω·
τὸ θανεῖν τεμεῖ τὰ πάντα.

στ. 1. κοινῶς γρ. ἆρ' οὐ βέλτιον, ὅτ' ἐγὼ 'ν; 3. λιγαίνειν ἄρχεται. 5. ἀπορίπτονται μέριμναι. 9. λυσιπήμων. 13. στεφάνους ἄνθεσι πλέξας. 'Αθήναιος (XV, 674. d) ἄλλων τε φυτῶν καὶ τοῦ ἀνήθου μνείαν ποιεῖται ὡς φαρμάκου τῆς πινόντων κεφαλαλγίας, ὃ μάλιστα ἐπιτήδειον τοῖς συνεχῶς λεγομένοις. 15. βιότου. 17. μύρῳ εὐώδεϊ τέγξας. 18. ἀγκάλαις δὲ κούρην. 19. κατέχων Κύπριν ἀείδω. 21. ὑπὸ κυρτοῖσι κυπέλλοις. 23. θιάσῳ τέρπομαι. 26. τόδ' ἐγώ. 27. τὸ θανεῖν γὰρ μετὰ πάντα. Ὁ δ' Εὐριπίδης (ἐν Ἀλκηστ. στ. 76) τὸν Θάνατον ποιεῖ ξίφος φέροντα, ᾧ τὰς κόμας τέμνει τῶν ἀποθνησκόντων.

34. ΕΙΣ ΕΡΩΤΑ.

Ἔρως ποτ' ἐν ῥόδοισι
κοιμωμένην μέλισσαν
οὐκ εἶδεν, ἀλλ' ἐτρώθη
τὸν δάκτυλον. Πατάξας
τὰς χεῖρας ὠλόλυξε·
δραμὼν δὲ καὶ πετασθεὶς
πρὸς τὴν καλὴν Κυθήρην,
ὄλωλα, μῆτερ, εἶπεν,
ὄλωλα κἀποθνήσκω.

ὄφις μ' ἔτυψε μικρὸς
πτερωτός, ὃν καλοῦσι
μέλισσαν οἱ γεωργοί.
ἡ δ' εἶπεν· εἰ σὲ κέντρον
πονεῖ τὸ τῆς μελίσσης,
πόσον δοκεῖς πονεῖν σύ,
Ἔρως, ὅσους σὺ βάλλεις.

στ. 13. κοινῶν γρ. εἰ τὸ κέντρον. 15. δοκεῖς πονοῦσιν· τοῦτο οὐ δοκεῖ ὀρθὸν εἶναι, εἰ μὴ ἄρα ὑπακούειν δεῖ πονεῖν, ὃ μέντοι ἀσαφέστερον.

35. ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ.

Ἱλαροὶ πίωμεν οἶνον,
ἅμα μέλψομεν δὲ Βάκχον
τὸν ἐφευρετὰν χορείας,
τὸν ὅλας ποθοῦντα μολπάς,
τὸν ὁμοτραφῆ Ἔρωτι,
τὸν ἐρώμενον Κυθήρης·
δι' ὃν ἡ Μέθη ἐτέχθη,
δι' ὃν ἡ Χάρις λοχεύθη,
ἀμπαύεται δὲ Λύπη,
εὐνάζεται δ' Ἀνία.
τὸ μὲν οὖν ποτὸν κερασθὲν
ἁπαλοὶ φέρουσι παῖδες·
τὸ δ' ἄχος πέφευγε μιχθὲν

ἀνεμοτρόφῳ θυέλλῃ·
τὸ μὲν οὖν ποτὸν λάβωμεν,
τὰ δὲ φροντίδων μεθῶμεν·
τί γάρ ἐστι σοὶ τὸ κέρδος
ὀδυνωμένῳ μερίμναις;
πόθεν οἶδαμεν τὸ μέλλον;
ὁ βίος βροτοῖς ἄδηλος·
μεθύων θέλω δὲ παίζειν,
μεμυρισμένος χορεύειν
(ἅμα σὺν καλοῖς ἑταίροις)
μετὰ καὶ καλῶν γυναικῶν·
μελέτω δὲ τοῖς θέλουσιν
ὅσον ἐστὶν ἐν μερίμναις·
ἱλαροὶ πίωμεν οἶνον,
ἅμα μέλψομεν δὲ Βάκχον.

στ. 2. καὶ 28 κοινῶς γρ. ἀναμέλψομεν. 5. ὁμότροπον, ὃ ἐναντιοῦται τῷ μέτρῳ., τοῦ δὲ ὑφ' ἡμῶν τεθέντος ἔννοιά ἐστι, ὅτι, ὅστις ἔρωτος γλίχεται, καὶ τοῦ οἴνου, καὶ ὡσαύτως κατὰ τοὐναντίον. 7. λοχεύθῃ. 8. ἐτέχθη. 9. δι' ὃν ἀμπαύεται A. 10. δι' ὃν εὐνάζεται A. Ἀμφότερον δὲ ἤρτηται ἐκ τοῦ πρότερον δι' ὅν. 11. πόμα. 15. πόμα. 16. τὰς δὲ φροντίδας. 21. Χορεύειν. 22. δὲ παίζειν. 23. ἄπεστι μέν, ἀναγκαῖος δέ. Παρενεθήκαμεν δὲ ὡς ἡμέτερον.

36. ΕΙΣ ΕΑΥΤΟΝ.

Ποθέω μετὰ Διονύσου
φιλοπαίγμονος χορείας·
φιλέω δ', ὁπόταν ἐφήβου
μετὰ συμπότου λυρίζω.
στεφανίσκον ἀφ' ὑακίνθων
κροτάφοισιν ἀμφιπλέξας
μετὰ παρθένων ἀθύρειν
φιλέω μάλιστα πάντων.
φθόνον ἀγνοεῖ 'μὸν ἦτορ,
φθόνον ἀγνοῶ δαΐκτην.
φιλολοιδόροιο γλώσσης
φεύγω βέλεμνα κωφά.
στυγέω μάχας παροίνους
δαῖτας κατὰ πολυκώμους·
ἄγε δεῦτε, μηκέθ' οὕτω
πατάγῳ τε κάλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ
μελετῶμεν, ἀλλ' ἐκήλοις
ὑποπίνετ' οὖν ἐν ὕμνοις·
νεοθηλέσι θ' ἅμα κούραις
ὑπὸ βαρβίτῳ χορευτῶν
βίον ἥσυχον φέρωμεν.

στ. 1. *κοινῶς γρ. ποθέωμὲν Δ. ἔστι δ' ἡ γνώμη, ποθέω Διόνυσον καὶ χορείας.* 3. *ὅταν.* 5. *στεφανίσκους δ' ὑακίνθων.* 9. *φθόνον οὐκ*

οἶδ' ἐμὸν ἦτορ. 10. φθόνον οὐκ οἶδα. 14. πολυκώμους κατὰ δαῖτας. 15—19. τοῦτο δὲ τὸ ἀποσπασμάτιον ὅλου τινὸς ἄλλοθι φερόμενον ἐνθαδὶ κατηγάγομεν, τῇ τῆς ὑποθέσεως συγγενείᾳ πειθόμενοι, εἰ ὀρθῶς ποιοῦντες, ἄλλοι κρίνοιεν. 15. δῶτε. 18. ἀλλὰ καλοῖς· τοῦτο δὲ ἀμφισβητήσιμον, ἐπειδήπερ οἱ ἐπικοὶ ἐν τῷ καλὸς τὸ κα καὶ μηκύνουσιν· δοκεῖ δὲ παρὰ τοῖς λυρικοῖς μόνον ἐξεῖναι ἐν τοῖς κυρίοις ὀνόμασιν, οἷον Ἄρης ἐν 39. 20. νεοθηλέσ'. 21. χορεύων. Οἷόν τε δὲ καὶ χορευταὶ γράφειν ἀντὶ τῆς χορεύοντες.

37. ΕΙΣ ΤΕΤΤΙΓΑ.

Μακαρίζομέν σε, τέττιξ,
ὅτε δενδρέων ἐπ' ἄκρων,
ὀλίγην δρόσον πεπωκώς,
βασιλεὺς ὅπως, ἀείδεις.
σὰ γάρ ἐστι κεῖνα πάντα,
χ' ὁπόσα βλέπεις ἐν ἀγροῖς,
χ' ὁπόσ' εὐφοροῦσιν ὗλαι.
σὺ δὲ φειδύλος γεωργῶν,
ἀπὸ μηδενός τι βλάπτων·
σὺ δὲ τίμιος βροτοῖσι
θέρεος γλυκὺς προφήτης.
φιλέουσι μέν σε Μοῦσαι,
φιλέει δὲ Φοῖβος αὐτός,
λιγυρήν δ' ἔδωκεν οἴμην·

τὸ δὲ γῆρας οὔ σε τείρει,
σοφέ, γηγενής, φίλυμνε,
ἀπαθής, ἀναιμόσαρκε·
σχεδὸν εἶ θεοῖς ὅμοιος.

στ. 7. κοινῶς γρ. χ' ὁπόσα φέρουσιν ὗλαι. 8. σὺ δὲ φίλιος γεωργῶν. Κατὰ δὲ τὰ ἡμέτερα οἱ γεωργοὶ αὐτὸν φειδύλον ἀφελῶς πως προσαγορεύουσιν λέγοντες αὐτὸν ἀπὸ μηδενός τι βλάπτειν.

38. ΕΙΣ ΤΟΝ ΕΑΥΤΟΥ ΟΝΕΙΡΟΝ.

Ἐδόκουν ὄναρ τροχάζειν
πτέρυγας φέρων ἐπ' ὤμων·
ὁ δ' Ἔρως ἔχων μόλυβδον
περὶ τοῖς καλοῖς ποδίσκοις
ἐδίωκε καὶ κίχανε.
τί δ' ὄναρ θέλει τόδ' εἶναι;
δοκέω δ' ἔγωγε, πολλοῖς
ἐν Ἔρωσί με πλακέντα
διολισθανεῖν ἐν ἄλλοις,
ἑνὶ τῷδε συνδεθῆναι.

στ. 6. κοινῶς γρ. τί θέλει τόδ' ὄναρ εἶναι. Αὕτη ἡ τοῦ μέτρου διόρθωσις μεταστάσει γενομένη ἀνδρὶ ὀφείλεται ἐν τοῖς μάλιστα παιδευτῷ τῆς καλῆς Σαξονίας.

39. ΕΙΣ ΤΑ ΤΟΥ ΕΡΩΤΟΣ ΒΕΛΗ.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης
παρὰ λημνίαις καμίνοις
τὰ βέλη τὰ τῶν Ἐρώτων
ἐποίει, λαβὼν σίδηρον.
ἀκίδας δ' ἔβαπτε Κύπρις
μέλιτι γλυκεῖ λαβοῦσα·
ὁ δ' Ἔρως χολὴν ἔμισγεν.
ὁ δ' Ἄρης ποτ' ἐξ ἀϋτῆς
στιβαρὸν δορὺ κραδαίνων
βέλος ηὐτέλιζ' Ἔρωτος·
ὁ δ' Ἔρως, τόδ' ἐστὶν, εἶπε,
βαρύ· πειράσας νοήσεις.
ἔλαβεν βέλεμνον Ἄρης,
ὑπεμειδίασε Κύπρις.
ὁ δ' Ἄρης ἀναστενάξας,
βαρύ, φησίν· ἆρον αὐτό·
ὁ δ' Ἔρως, ἔχ' αὐτό, φησί.

στ. 6. κοινῶς γρ. μέλι τὸ γλυκὺ, οἷς διαφθείρεται τὸ μέτρον καὶ δὴ καὶ ἐν οἷς τεθείκαμεν ἡ λαβοῦσα ἴσως ἐπαμφοτερίζει, χαλεπώτερον μέντοι.

40. ΕΙΣ ΕΡΩΤΑ.

Χαλεπὸν τὸ μὴ φιλῆσαι·
χαλεπὸν δὲ καὶ φιλῆσαι·

χαλεπώτερον δέ, πάντων
ἀποτυγχάνειν φιλοῦντα.
γένος; οὐδὲν εἰς Ἔρωτα.
σοφίη; τρόπος πατεῖται·
μόνον ἄργυρον βλέπουσιν.
ἀπόλοιτο πρῶτος αὐτὸς
ὁ τὸν ἄργυρον φιλήσας.
διὰ τοῦτον οὐκ ἀδελφός,
διὰ τοῦτον οὐ τοκῆες·
πόλεμοι, φόνοι δι' αὐτόν.
τὸ δὲ χεῖρον, ὀλλύμεσθα
διὰ τοῦτον οἱ φιλοῦντες.

41. ΕΙΣ ΓΕΡΟΝΤΑ.

Φιλῶ γέροντα τερπνόν,
φιλῶ νέον χορευτάν.
γέρων δ' ὅταν χορεύῃ,
τρίχας γέρων μέν ἐστι,
τὰς δὲ φρένας νεάζει.

42. ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Ὁ τὸν ἐν πόνοις ἀτειρῆ
νέον, ἐν πόθοις ἀταρβῆ,
καλὸν ἐν πότοις χορευτὴν
τελέων θεὸς κατῆλθεν,
ἁπαλὸν βροτοῖσι φίλτρον,

πότον ἄστονον, κομίζων,
γόνον ἀμπέλου τὸν οἶνον
πεπεδημένων ὀπώραις
ἐπὶ κλημάτων φυλάττων,
ἵν', ὅταν τάμωσι βότρυν,
ἄνοσοι μένωσι πάντες,
ἄνοσοι δέμας θεητόν,
ἄνοσοι γλυκύν τε θυμὸν
ἐς ἔτος φανὲν τό γ' ἄλλο.

στ. 8. *κοινῶς γρ. πεπεδημένον.* 14. *ἐς ἔτους φανέντος ἄλλου.*

43. *ΕΙΣ ΔΙΣΚΟΝ ΕΧΟΝΤΑ ΑΦΡΟΔΙΤΗΝ.*

Ἆρα τις τόρευσε πόντον,
ἆρα τις μανεῖσα τέχνα
ἀνέχευε κῦμα δίσκῳ
ἔπι, νῶτα τῆς θαλάσσης;
ἆρα τις χ' ὑπὲρ θάλασσαν
ἁπαλὰν χάραξε Κύπριν,
νόος ἐς θεοὺς ἀερθεὶς
μακάρων φύσιος ἐς ἄγραν;
ὅδε νιν δ' ἔδειξε γυμνάν,
ὅσα μὴ θέμις δ' ὁρᾶσθαι,
μόνα κύμασιν καλύπτει.
ἀλαλημένη δ' ἐπ' αὐτά,
βρύον ὡς ὕπερθε λευκὸν

ἀπαλοχρόους γαλήνας,
δέμας ἐς πλόον φέρουσα
ῥόθιον πάροιθεν ἕλκει.
ῥοδέων δ' ὕπερθε μαζῶν,
ἁπαλῆς ἔνερθε δειρῆς
μέγα κῦμα πλωτὰ τέμνει.
μέσον αὔλακος δὲ Κύπρις,
κρίνον ὡς ἴοις ἑλιχθὲν,
διαφαίνεται γαλήνας·
ὑπὲρ ἀργύρῳ δ' ὀχοῦνται
δελφῖσιν ἐπὶ χορευταῖς,
μερόπων νόον δολοῦντές τ'
Ἔρος Ἵμερος γελῶσι.
χόρος ἰχθύων δὲ κυρτὸς
ἐπὶ κυμάτων κυβιστῶν
Παφίης τὸ σῶμα παίζει,
ἵνα νήχεται γελῶσα.

στ. 4. κοινῶς γρ. ἐπὶ νῶτα τ. 9. Νῦν δὲ νῶτα τ. 9. ἐπεξήγησίς ἐστι τοῦ κῦμα. 5. τις ὑπέρ. 8. φύσιος ἀρχάν. 9. ὁ δέ νιν ἔδειξε. 19. πρῶτα. καὶ τὸ ἡμέτερον ἐπιῤῥηματικῶς ἐννοείσθω. 24. ἐπὶ δελφίσιν. 25. δολερὸν νόον μερόπων. 26. γελῶντες.

44. ΕΠΙΛΗΝΙΟΣ ΩΙΔΗ.

Γὰ μελαινόχρωτα βοτρῦν
ταλάροις φέρουσιν ἄνδρες

μετὰ παρθένων ἐπ' ὤμων·
ληνὸν δὲ καταβαλόντες
μόνον ἄρσενες πατοῦσι
σταφυλήν, λύοντες οἶνον,
μέγα τὸν θεὸν κροτοῦντες
ἐπιληνίοισιν ὕμνοις,
ἐρατὸν πίθοις ὁρῶντες
νέον ἐς ζέοντα Βάκχον.
ὃν ὅταν πίῃ γεραιός,
τρομεροῖς ποσὶν χορεύει
πολιὰς τρίχας τινάσσων.
ὁ δὲ παρθένον λοχήσας
ἐρατὸς νέος μεθυσθεὶς
ἁπαλὸν δέμας χυθεῖσαν
σκιερῶν ὕπερθε φύλλων,
βεβαρημένην ἐς ὕπνον,
ἐς ἔρωτ' ἄωρα θέλγει
προδότιν γάμων γενέσθαι·
ὁ δὲ μὴ λόγοισι πείθων
τότε μὴ θέλουσαν ἄγχει.
μετὰ γὰρ νέων ὁ Βάκχος
μεθύων ἄτακτα παίζει.

στ. 1. κοινῶς γρ. τὸν μελανόχρωτα βότρυν. Ἔχει δ' ὁ Εὐριπίδης ἐν Τρῳάσιν 459 Ἐριννῦν. 4. κατὰ ληνὸν δὲ βαλόντες.

45. ΕΙΣ ΡΟΔΟΝ.

Στεφανηφόρου μετ' ἦρος
μέλπω ῥόδον τέρειναν·
σύν, ἑταῖρε, δεῖ σε μέλπειν.
Τόδε γὰρ θεῶν ἄημα,
τόδε καὶ βροτῶν χάρημα.
Χάρισίν τ' ἄγαλμ' ἐν ὥραις
πολυανθέων Ἐρώτων,
Ἀφροδίσιόν τ' ἄθυρμα.
τόδε καὶ μέλημα μύθοις,
χαρίεν φυτόν τε Μουσῶν.
γλυκὺ καὶ ποιοῦντι πεῖραν
ἐν ἀκανθίναις ἀταρποῖς·
γλυκὺ δ' αὖ λαβόντι θλίβειν
μαλακαῖσι χερσί, κούφως
προσάγοντ' Ἔρωτος ἄνθος.
τὸ δὲ φῶς τόδ' ὥς τι τερπνὸν
θαλίαις τε καὶ τραπέζαις
Διονυσίαις θ' ἑορταῖς.
τί δ' ἄνευ ῥόδου γένοιτ' ἄν;
ῥοδοδάκτυλος μὲν Ἠώς,
ῥοδοπήχεες δὲ Νύμφαι
ῥοδόχρους δὲ κ' Ἀφροδίτη
πρὸς ἐτὸς σοφῶν καλεῖται.
τόδε καὶ νοσοῦσιν ἀρκεῖ,
τόδε καὶ νεκροῖς ἀμύνει,

τόδε καὶ χρόνον βιᾶται·
χαρίεν ῥόδων δὲ γῆρας
νεότητος ἔσχεν ὀδμήν.
φέρε δή, φύσιν λέγωμεν.
χαροπῆς ὅτ' ἐκ θαλάσσης
δεδροσωμένην Κυθήρην
ἐλόχευε Πόντος ἀφρῷ,
πολεμόκλονόν τ' Ἀθήνην
κορυφῆς ἐδείκνυε Ζεὺς
φοβερὴν θεὰν Ὀλύμπῳ,
τότε καὶ ῥόδων ἀγητῶν
νέον ἔρνος ἤνθισε Χθών,
πολυδαίδαλον λόχευμα.
μακάρων θεῶν δ' ὅμιλος,
ῥόδον ὡς γένοιτο, τέγξας
ὅπα νέκταρι, ἀνέτειλεν
ἀγέρωχον ἐξ ἀκάνθης
φυτὸν ἄμβροτον Λυαίου.

στ. 2. κοινῶς γρ. μέλπομαι. 3. σὺν, ἑταίρα, δεῖ μέλπειν. 13. θάλπειν. 16. ὡς τὸ φῶς τόδ' αὐτὸ τερπνόν. 25. νόσοισιν. 41. ῥόδον ὡς γένοιτο νέκταρ. 41. ἐπιτέγξας. Ἐγράψαμεν δὲ ὄπα, συνέντες τὸν ἄνθους ὀφθαλμόν.

46. *ΕΙΣ ΕΑΥΤΟΝ.*

Ὅτ' ἐγὼ νέων ὅμιλον
ἐσορῶ, πάρεστιν ἥβα.
τότε δή, τότ' ἐς χορείην
ὁ γέρων ἐγὼ πτεροῦμαι.
περίμεινον ἐμέ, Κυβήβα,
παράδος, θέλω στέφεσθαι,
πολιὸν δ' ἑκὰς τὸ γῆρας·
νέος ἐν νέοις χορεύσω.
Διονυσίης δ' ἐμοί τις
φερέτω ῥόον ἀπ' ὀπώρης,
ἵν' ἴδῃ γέροντος ἀλκὴν
δεδαηκότος μὲν εἰπεῖν,
δεδαηκότος δὲ πίνειν·
χαρίεν τε τέως μανῆναι.

στ. 5. *κοινῶς γρ. περίμεινόν με, Κυβήβα.* 6. *παράδος· ὑπάκουε τὸν στέφανον.* 7. *πολιὸν ἑκὰς δὲ γ. ὑπάκουε δὲ εἶναι, ἐξηρτημένον ἀπὸ τοῦ πρότερον θέλω.* 14. *Χαριέντως τε μανῆναι. Τὸ δὲ τέως ἐνταῦθα δύναται ἔστιν ὅτε, ὃ οὐκ ἄτοπον· κεῖται γὰρ ἐν τῷ Μενεξένῳ τοῦ θείου. Τὸ δὲ ὅλον εἴτε ἀρτᾷς ἐκ τῆς δεδαηκότος εἴτε καθ' ἑαυτὸ ὑπολάμβάνεις, ἑκατέρως μὲν εὖ ἔχει, τὸ δὲ ὕστερον διὰ τόν τε γνωμικώτερον φαίνεται καὶ παραπλήσιον ἐκείνοις,* Dulce est, desipere in loco. *διὸ καὶ μειζόνως ὑπεστίξαμεν.*

47. ΕΙΣ ΕΡΩΝΤΑΣ.

*Ἐπ' ἰσχίοις μὲν ἵπποι
πυρὸς χάραγμ' ἔχουσι·
καὶ Παρθίους τις ἄνδρας
ἐγνώρισεν τιάραις.
ἐγὼ δὲ τοὺς ἐρῶντας
ἰδὼν ἐπίσταμ' εὐθύς·
ἔχουσι γάρ τι λεπτὸν
ψυχῆς ἔσω χάραγμα.*

48. ΕΙΣ ΕΑΥΤΟΝ.

*Πολιοὶ μὲν ἡμὶν ἤδη
κρόταφοι, κάρη δὲ λευκόν·
χαρίεσσα δ' οὐκ ἔθ' ἥβη
πάρα· γηραλέοι δ' ὀδόντες·
γλυκεροῦ δ' ἔτ' οὐχὶ πολλὸς
βιότου χρόνος λέλειπται.
διὰ ταῦτ' ἀνασταλύζω
θαμά, Τάρταρον δεδοικώς.
Ἀΐδεω γάρ ἐστι δεινὸς
μυχός, ἀργαλέη δ' ἐς αὐτὸν
κάθοδος, καθάπερ ἕτοιμον
καταβάντι μὴ 'ναβῆναι.*

Την ἐπιγραφὴν ἀποῦσαν αὐτοὶ ἐπιγεγράφαμεν. στ. 5. *κοινῶς γρ. γλυκεροῦ δ' οὐκέτι.* 11. *καὶ γὰρ ἕτοιμον.*

49. ΛΗΝΑΙΖΟΝΤΟΣ.

Ἄγε δὴ φέρ' ἡμὶν, ὦ παῖ,
κελέβην, ὅπως ἀμυστὶ
προπίω· τὰ μὲν δέκ' ἔγχει
ὕδατος, τὰ πέντε δ' οἴνου·
κυάθοισιν ὡς νεβριστὶ
Λήναια βασσαρήσω.

Κἀνταῦθα ἡ ἐπιγραφὴ πρὸς ἡμῶν ἐστί. στ. 2. κοινῶς γρ. ἄμυστιν. 3—4. παρὰ τὸ εἰωθὸς τὸ τρίτον αἰτεῖται οἴνου· τὸ γὰρ καθεστηκὸς ἦν τὸ τέταρτον παρὰ τοῖς παλαιοῖς, ὡς λέγει Ἡσίοδος Ε. κ. Η. 557. 5. κυάθοις, συνεχὲς τῷ πρότερον οἴνου. Ἔπειτα, ὡς ἀνυβριστί· τὸ μὲν νεβριστὶ ἐν μὲν τοῖς λεξικοῖς οὔπω εὑρίσκεται, ὀρθὸν δὲ γοῦν ἐστί, ὁ δὲ ὡς ἐνταῦθα γὰρ δύναται. 6. ἀναδεύων βασσαρήσω. Ἀθήναιος δέ, ὃς τοῦτο τὸ ᾀσμάτιον ἔσωσε, (Χ. 427. a) ἄλλας τε ἐν τοῖς αὐτογράφοις λέξεις παρέχει καὶ Δηντε, ὅθεν τὸ νῦν παρὸν ἀνεβιωσάμην, μεταθεὶς τὸ ανα.

50. ΕΙΣ ΑΡΤΕΜΙΝ.

Γουνοῦμαί σ', ἐλαφηβόλε
ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρῶν·
ἵκου νῦν ἐπὶ Ληθαίου
δίνῃσι, θρασυκαρδίων
ἀνδρῶν ἐγκαθόρα πόλιν

χαίρουσ', οὐ γὰρ ἀνημέρους
ποιμαίνεις πολιήτας.

στ. 4. Λήθαιος ποταμός οὐ πόῤῥω ἀπῆν τῆς Ἐφέσου ἐν Λαρίσσᾳ, ὑπὲρ ἧς τάχα τὰς εὐχὰς ποιεῖται ὁ ποιητής.

51. ΕΙΣ ΚΟΡΗΝ ΘΡΗΙΣΣΑΝ.

Πῶλε Θρηΐκίη, τί δή με
λοξὸν ὄμμασι βλέπουσα
νηλεῶς φεύγεις, δοκέεις δὲ
μ' οὐδὲν εἰδέναι σοφόν;
ἴσθι τοι, καλῶς μὲν ἄν σοι
τὸν χαλινὸν ἐμβάλοιμι,
ἡνίας δ' ἔχων στρέφοιμι
ἀμφὶ τέρματα δρόμου.
νῦν δὲ λειμῶνάς τε βοσκέαι,
κοῦφά τε σκιρτῶσα παίζεις·
δεξιὸν γὰρ ἱπποπείρην
οὐκ ἔχεις ἐπεμβάτην.

52. Πόθος.

Ὦ παῖ παρθένιον βλέπων,
δίζημαί σε, σὺ δ' οὐκ αΐεις
οὐκ εἰδώς, ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις.

στ. 2. ἀντὶ τοῦ αΐεις ὁ Ἀθήναιος (XIII. 654. d) ἔχει κλύεις.

Σφάλματα.

Σελ. 8. στ. 11. λίγειαν ἀντὶ λιγεῖαν.
18. ἐν τ. σχ. ἔρωτος ἀντὶ ἔρωτος.
24. στ. 25. ἐν τ. σχ. τὶ δὲ πᾶν ἀντὶ τὸ δὲ π.
28. στ. 17. οὐν ἀντὶ οὖν.
στ. 11. ἐν τοῖς σχ. ἐῤῥιγημέναι ἀντὶ ἐῤῥιγυῖαι ἢ ναρκῶσαι ὑπὸ κρύους.
29. στ. 6. κὰν ἀντὶ κἀν.
31. στ. 9. ελαμψεν ἀντὶ ἔλαμψεν.
32. στ. 9. ἡδὺν ἀντὶ ἡδὺν.
38. στ. 12. φιλεουσι ἀντὶ φιλέουσι.

1. 18. 24. 25. 26. 27. 45. 49. 58. 59. 62.